ζητῶ σε, μετ' αἰτιατικῆς, ἢ γενικῆς ἐπιφερομένην καὶ ἀντὶ κατη=
γορῶ, accuso, … defendo· οἷον διώκω σε κλοπῆς.

## Σημείωσις.

α' Περὶ τῶν τιμῶν, ἢ ἀγοράν, πώλησιν, ἢ ὤνησιν, ἢ συνά=
λλαγμα σημαινόντων ῥημάτων ἀνωτέρω εἴρηται πῶς συν=
τάσσονται κατὰ ζήτει κεφ. ιη' καὶ κεφ. ζ'.

β' Τοῖς πλείοσι τῶν ῥημάτων τούτου τοῦ εἴδους προσεπιτίθεται
ἡ ἀπό, ἢ ἡ ἐκ, εἴτε ἡ ὑπό πρόθεσις κατ' ἔλλειψιν, ἢ
τοῦ ἕνεκα, ἢ χάριν, ζήτει περὶ τούτων ἀνωτέρω κεφ. ιδ'.

γ' Ἡ πλείους τινῶν ῥημάτων τοῦ εἴδους τούτου ἐνίοτε ἀντι=
στρόφως τίθενται· οἷον ἄγαμαί σε τοῦ φρονήματος, ἐπαινῶ σε
τοῦ νοῦ. θαυμάζω σε τῆς σοφίας κατ' ἔλλειψιν τοῦ ἕνεκα
καὶ ἀντιστρόφως ἄγαμαί σου τὸ φρόνημα ἐπαινῶ σου τὸν νοῦν,
θαυμάζω σου τὴν σοφίαν.

δ' Τινὰ τῶν ῥημάτων τούτου τοῦ εἴδους μετὰ τὴν πάσχουσαν
αἰτιατικὴν ἀπαιτοῦσι γενικὴν μετὰ προθέσεως· οἷον ἀκούω
τοὺς ποιητὰς παρὰ τοῦ Κωνσταντίνου. μερίζω τὴν αἶραν
ἀπὸ τοῦ σίτου. ἕλκω τὸν κλέπτην ἀπὸ τοῦ ἀσύλου
ζήτει καὶ κεφ. ιδ'. ἄσυλον δέ, templum quivis locus
inviolabilis

ε' Τὰ κοινωνίαν, ἢ μετοχὴν σημαίνοντα ἀποδοτικῇ εἰς
γενικὴν τοῦ κοινωνουμένου, ἢ μετεχομένου πράγματος δια=
βαίνει· οἷον κοινωνῶ σοι τῆς δόξης, ἀντὶ κοινωνὸς γίνομαι
τῆς δόξης. μετέχω σοι τοῦ πάθους, ἀντὶ μέτοχός σοι
γίνομαι τοῦ πάθους, καὶ ἔτι μετέχω σοι τὸ πάθος. ὅθεν
καὶ τὸ τοῦ Κωμικοῦ, οὐ γὰρ μετέχεις τὰς ἴσας πληγὰς



http://digital.slub-dresden.de/ppn334942241/894